ἐσιώπησα διαισχυνθείς, ὅτι παιδίου τινὸς ὡς ἀληθῶς ἔργον
ἐπεπόνθειν πιστεύσας τοῖς ποιηταῖς ἀπίθανα οὕτως ψευδομένοις,
ὡς μηδὲν ὑγιὲς ἀρέσκεσθαι αὐτοῖς.

Μιᾶς μὲν δὴ ταύτης ἐλπίδος οὐ μικρᾶς ἐψευσμένος ἠνιώμην
καθάπερ ἐκ τῶν χειρῶν τὸ ἤλεκτρον ἀπολωλεκώς, ὅς γε ἤδη
4 ἀνέπλαττον ὅσα καὶ οἷα χρήσομαι αὐτῷ. ἐκεῖνο δὲ καὶ πάνυ
ἀληθὲς ᾤμην εὑρήσειν παρ' αὐτοῖς, κύκνους πολλοὺς ᾄδοντας ἐπὶ
ταῖς ὄχθαις τοῦ ποταμοῦ. καὶ αὖθις ἠρώτων τοὺς ναύτας—
ἀνεπλέομεν γὰρ ἔτι—Ἀλλ' οἵ γε κύκνοι πηνίκα ὑμῖν τὸ λιγυρὸν
ἐκεῖνο ᾄδουσιν ἐφεστῶτες τῷ ποταμῷ ἔνθεν καὶ ἔνθεν; φασὶ γοῦν
Ἀπόλλωνος παρέδρους αὐτοὺς ὄντας, ᾠδικοὺς ἀνθρώπους, ἐνταῦθά
που ἐς τὰ ὄρνεα μεταπεσεῖν καὶ διὰ τοῦτο ᾄδειν ἔτι οὐκ ἐκ-
5 λαθομένους τῆς μουσικῆς. οἱ δὲ σὺν γέλωτι, Σύ, ἔφησαν, ὦ
ἄνθρωπε, οὐ παύσῃ τήμερον καταψευδόμενος τῆς χώρας ἡμῶν καὶ
τοῦ ποταμοῦ; ἡμεῖς δὲ ἀεὶ πλέοντες καὶ ἐκ παίδων σχεδὸν ἐργα-
ζόμενοι ἐν τῷ Ἠριδανῷ ὀλίγους μὲν κύκνους ἐνίοτε ὁρῶμεν ἐν τοῖς
ἕλεσι τοῦ ποταμοῦ, καὶ κρώζουσιν οὗτοι πάνυ ἄμουσον καὶ ἀσθενές,
ὡς τοὺς κόρακας ἢ τοὺς κολοιοὺς Σειρῆνας εἶναι πρὸς αὐτούς,
ᾀδόντων δὲ [καὶ] ἡδὺ καὶ οἷον σὺ φῂς οὐδὲ ὄναρ ἀκηκόαμεν· ὥστε
θαυμάζομεν πόθεν ταῦτα εἰς ὑμᾶς ἀφίκετο περὶ ἡμῶν.

6 Πολλὰ τοιαῦτα ἐξαπατηθῆναι ἔστι πιστεύοντας τοῖς πρὸς τὸ
μεῖζον ἕκαστα ἐξηγουμένοις. ὥστε κἀγὼ νῦν δέδια ὑπὲρ ἐμαυτοῦ
μὴ ὑμεῖς ἄρτι ἀφιγμένοι, καὶ τοῦτο πρῶτον ἀκροασάμενοι ἡμῶν,
ἤλεκτρά τινα καὶ κύκνους ἐλπίσαντες εὑρήσειν παρ' ἡμῖν, ἔπειτα
μετ' ὀλίγον ἀπέλθητε καταγελῶντες τῶν ὑποσχομένων ὑμῖν
τοιαῦτα πολλὰ κειμήλια ἐνεῖναι τοῖς λόγοις. ἀλλὰ μαρτύρομαι,
ὡς ἐμοῦ τοιαῦτα μεγαλαυχουμένου περὶ τῶν ἐμῶν οὔτε ὑμεῖς οὔτε
ἄλλος πω ἀκήκοεν, οὐδ' ἂν ἀκούσειέν ποτε. ἄλλοις μὲν γὰρ οὐκ
ὀλίγοις ἐντύχοις ἂν Ἠριδανοῖς τισι καὶ οἷς οὐκ ἤλεκτρον, ἀλλὰ
χρυσὸς αὐτὸς ἀποστάζει τῶν λόγων, πολὺ τῶν κύκνων τῶν ποιη-
τικῶν λιγυρωτέροις· τὸ δὲ ἐμὸν ὁρᾶτε ἤδη ὁποῖον ἁπλοϊκὸν καὶ
ἄμυθον, οὐδέ τις ᾠδὴ πρόσεστιν. ὥστε ὅρα μὴ τοιοῦτό τι πάθῃς
μείζω περὶ ἡμῶν ἐλπίσας, οἷόν τι πάσχουσιν οἱ τὰ ἐν τῷ ὕδατι